οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

(Theognidis)

⊗ Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκηι ἄνδρα <39
ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος· 40
1082a ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ 41
b τετράφαται πολλὴν εἰς κακότητα πεσεῖν. 42

c μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλας, <87
d εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος, 88
e ἀλλὰ φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν 89
f ἔχθαιρ' ἐμφανέως νεῖκος ἀειράμενος. 90
οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλωι.

⊗ Δημῶναξ, σὺ δὲ πολλὰ φέρειν βαρύς· οὐ γὰρ ἐπίστηι
τοῦτ' ἔρδειν ὅτι σοι μὴ καταθύμιον ἧι.

⊗ Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίηι
ναίετ' ἐπ' Εὐρώται καλλιρόωι ποταμῶι,
εἴ ποτε βουλεύσαιμι φίλωι κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γινώσκων χαλεπὸν μὲν ὅταν φίλος ἀνδρὶ γένηται
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.